UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Athanasio Presbytero. 169.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Μάρωνι. ρξζ.

Ἕκαστον μὲν σχεδὸν τῶν ἄλλων παθῶν, καὶ ἀκμὴν ἔχει, καὶ παρακμὴν οἶδε, καὶ κόρον ἐπίσταται· καὶ εἰς τελευτὴν ἐπείγεται. ὁ δὲ δεινὸς τῆς φιλοχρηματίας ἔρως, μήτ᾽ ἔμφυτος ὤν, ἀλλ᾽ ἔξωθεν ποθὲν ἐπικωμάσας, παρακμὴν οὐκ οἶδε, κόρον ὑβρίζει, εὐφροσύνην οὐκ ἐπίσταται, τελευτῆς οὐκ ἀνέχεται. ἀεὶ δ᾽ ἀκμάζων, μᾶλλον δὲ τὴν ἀκμὴν ἐπιτείνων, νεανικώτερος ἑαυτοῦ, καὶ τυραννικώτερος εἶναι βιάζεται. οὐ γὰρ πρὸς τὰ ἄλλα πάθη τὴν ἅμιλλαν ποιεῖται μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτὸν, καὶ ἑαυτὸν νικῆσαι φιλονεικῶν. θᾶττον γὰρ ἄν τις τὰ ἀνέφικτα καταλήψεται, ἢ ἐκεῖνος κόρον λήψεται. τὴν γὰρ προσθήκην μείωσιν, οὐκ οἶδ᾽ ὅπως, καὶ ἐλάττωσιν εἶναι ἡγούμενος, πλέον ἀνακάει τὸ πῦρ, ὅπερ καὶ τῆς σῆς τινὲς φασὶ γεγεῦσθαι ψυχῆς. σβέσον τοίνυν ἢ τάχος τοῦτο, εἰ δὲ μὴ, κἀνταῦθα ἀβίωτον βιώσεις βίον, κἀκεῖσε πικρὰς ὑφέξεις εὐθύνας.

Εὐτονίῳ διακόνῳ. ρξη.

Ὁ τὸ πρέπον, ὦ σοφώτατε, μὴ προδιδοὺς, οὐδεπώποτε ὑπὸ τῆς θείας συμμαχίας προδοθήσεται.

Ἀθανασίῳ πρεσβυτέρῳ. ρξθ.

Εἰ καὶ πατρίδος τις εἴη τῆς βασιλικωτάτης, καὶ γένους τοῦ περιφανεστάτου, καὶ πλούτῳ παντοίῳ κομῴη, εὐγλωττίας τ᾽ εἰς ἄκρον ἀφίκοιτο, καὶ πάντα τὰ τῶν ἀρχαίων ἐπὶ στόματος φέροι, ῥώμῃ τε, καὶ κάλλει, δόξῃ τε καὶ ἀρχῇ ἐναβρύνοιτο, βασιλείας τε αὐτῆς ἀξιωθείη, καὶ τὸν στέφανον καὶ τὴν ἁλουργίδα περικέηται, ἀρετὴν δὲ μὴ ἔχοι, τοῦτον ἔγωγε ἐν τοῖς ἀνδραποδεστάτοις κατατάξαιμι. εἰ δέ τις δικαιοσύνῃ, καὶ σωφροσύνῃ, ἀνδρείᾳ τε καὶ φρονήσει σοφὸς εἴη, τοῦτον ἐν τοῖς

*Maroni.* 167.

Cęteræ quidem penè omnes vitioſæ affectiones, & vigorem & ſenium habent, & ſatietatem agnoſcunt, atque ad finem omni celeritate contendunt: at horrendus pecuniarum amor, cùm nobis à natura minimè inſitus ſit, verùm externè alicunde ſeſe inſinuarit, ſenium neſcit, ſatietatem contumelia afficit, lætitiam ignorat, finem capere minimè ſuſtinet: imò verò in dies vigens, vel, vt rectiùs loquar, vigorem ſuum augens, fortior ſeipſo & valentior atque acrior eſſe contendit. Neque enim aduerſus duntaxat affectus certamen habet, ſed etiam aduerſus ſeipſum, vt qui ſeipſum vincere ſummo ſtudio adnitatur. Etenim citiùs ea, quæ percipi non poſſunt, quiſpiã perceperit, quàm ille ſatietatem capiat. Si quidem incrementum, haud ſcio quo pacto, decremẽtum atque iacturam eſſe exiſtimans, ignem vehementiùs accendit. Quem quidem nõnulli animam quoque tuam deguſtaſſe aſſerunt. Hunc igitur quamprimùm extingue. Sin ſecus, tum hîc inſuauem vitam duces, tum illic acerbas pœnas pendes.

*Eutonio Diacono.* 168.

Vir ſingulari ſapientia prædite, qui honeſtum ac decorum minimè prodit, is nũquam à diuino auxilio deſeratur.

*Athanaſio Presbytero.* 169.

Quamuis & nobiliſſimæ patriæ quiſpiam ſit, & clariſſimi generis, & omni diuitiarum genere abundet, & ſummam eloquentiæ facultatem obtineat, omniáque veterum ſcripta in ore ferat, & robore ac pulchritudine, gloriáque & imperio glorietur, regiáque etiã dignitate affectus ſit, & diademate ac purpurã geſtet, tamẽ ſi virtute careat, hunc ego in mancipiorum numero habuerim. Contrà, ſi quis iuſtitia, temperantia, fortitudine, & prudentia præditus ſit, hunc ego inter ampliſſimos maximéque regios numeratim. Quòd ſi

vir probus eo, qui omnia illa in vniuersum habet, melior præstantiórque habendus est, eo proculdubio, qui non omnia simul habet, (neque enim fieri potest, vt omnia in vnum coëant) multò beatior & clarior futurus est, quòd illa quidem ocyùs extinguantur, immortalis sit.

*Petro.* 170.

Quòd ille, qui negotiorum opportunitatem prodit, res pulchras & cum laude coniunctas minimè assecuturus, perspicuè constat. Quòd autem bona & commoda cuncta sint in tempore suo, Ecclesiastes docuit. Cũ igitur hæc ita se habeant, quid est quamobrem nouum ac mirum tibi videatur, quòd Saluator prudentem ac fidelem dispensatorem cibum opportunè daturum esse dixerit? Nam quod intempestiuè fit, semper molestũ est: & beneficium opportunitate destitutum, beneficij quoque nomen amittit. Verbi gratia, idem panis fame laboranti gratus ac iucundus est: satiato autem non item: atque idem poculum siti affecto suauissimum est, temulento autem molestissimum. Quid igitur efficit, vt iisdem rebus non eodem modo animi nostri afficiantur? Opportunitas scilicet, quæ etiam id, quod datur, maius & amabilius reddit. Quocirca non tantùm dare conuenit (exiguum enim istud fortasse) sed etiam opportunè. Hoc quippe & paruum munus augebit: & si magnum sit, maximum atque amplissimum reddet. Eáque de causa Psaltes diuina beneficia prędicans, illud etiam adiecit, Omnia ad te expectant Domine, vt tu des illis escam in tempore opportuno. Non enim duntaxat alit, sed etiã tempestiuè. Hoc quippe potissimum est, quod omnia alit, nẽpe quòd tẽpestiuè porrigatur. Ac si hoc in his quoque fructibus, qui ex terra nascuntur, fieri conspicere cupis, vide quemadmodũ non vno eodémque tempore frumentum, & vinum, & oleum, & poma, variíque flores existant: verùm prata quidem antecedunt,

βασιλικωτάτοις καταριθμήσαιμι. εἰ δὲ τοῦ πάνθ᾽ ὁμοῦ ἐκεῖνα ἔχοντος ἀμείνων ὁ φιλάρετος τοῦ μὴ πάντ᾽ ἔχοντος ὁμοῦ. οὐδὲ γὰρ πάνθ᾽ οἷόν τε συνελθεῖν, πολλῷ μακαριώτερος ἔσται, καὶ εὐκλεέστερος, τὸ ἐκεῖνα μὲν θᾶττον ἀποσβέννυσθαι, τὴν δ᾽ ἀρετὴν ἀθάνατον εἶναι.

Πέτρῳ. ρο.

Ὅτι μὲν ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων προδιδοὺς, τῆς τῶν καλῶν διαμάρτοι θήρας δῆλον. ὅτι δὲ καὶ πάντα καλὰ ἐν καιρῷ αὐτῶν, ὁ ἐκκλησιαστὴς ἐδίδαξεν. εἰ τοίνυν ταῦθ᾽ οὕτως ἔχει, τί ξενίζῃ, εἰ ὁ σωτὴρ ἔφη περὶ τοῦ φρονίμου καὶ πιστοῦ οἰκονόμου, ὅτι δώσει τὴν τροφὴν ἐν καιρῷ. τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρὸν, καὶ ἡ εὐεργεσία καιροῦ ἀμοιρήσασα, καὶ τὸ ὄνομα ἀπόλλυσιν, οἷον ὁ αὐτὸς ἄρτος πεινῶντι μὲν ἡδὺς καὶ ἐράσμιος, κορεσθέντι δὲ οὐ πάνυ, καὶ τὸ αὐτὸ ποτήριον, διψῶντι μὲν προσηνέστατον, μεθύοντι δὲ ἀηδέστατον. τίς οὖν ἡ αἰτία, ἢ τὰ αὐτὰ μὴ τῶν αὐτῶν τυγχάνειν παρασκευάζουσα, ἡ εὐκαιρία δηλονότι, ἣ καὶ τὸ διδόμενον μεῖζον καὶ ἐρασμιώτερον δημιουργοῦσα. χρὴ οὖν μὴ μόνον διδόναι. μικρὸν γὰρ ἴσως τοῦτο. ἀλλὰ καὶ καιρίως. τοῦτο γὰρ κἂν μικρὸν ᾖ, τὸ δοθὲν, μεῖζον ποιήσει. κἂν μέγα, μέγιστον παρασκευάσει. διὰ τοῦτο καὶ ὁ μελῳδὸς τὰς θείας εὐεργεσίας ἀνακηρύττων, καὶ τοῦτο προσέθηκε, πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον. οὐ γὰρ τρέφει μόνον, ἀλλὰ καὶ εὐκαίρως. τοῦτο γὰρ μάλιστά ἐστι, τὸ πάντα τρέφον, τὸ καιρίως δίδοσθαι, καὶ εἰ βούλει γε, καὶ ἐπὶ τῶν καρπῶν τῶν ἀπὸ γῆς τικτομένων, τοῦτο γινόμενον ἰδεῖν. θέα ὅτι οὐκ ἐν ἑνὶ καιρῷ σῖτος καὶ οἶνος καὶ ἔλαιον, καὶ ἀκροδρύων γένη, καὶ ἀνθῶν ποικιλίαι. ἀλλὰ προηγοῦνται μὲν οἱ λειμῶνες, ἕπεται δὲ τὰ λήϊα, διαδέχεται δὲ ἄμπελος, παραπέμπει δὲ